# ΚΕΦ. ΤΡΙΤΟΝ.

## Περὶ Συλλογισμῶν Στοιχειωδῶν.

### §. φπδ΄.

Συλλογισμοὺς ἀποκαλῶ Στοιχειώδεις, ἐν οἷς τινὸς τῶν ἐν τῇ Λογικῇ ἀρχικῶν προτάσεων προτεθείσης, τίθεται μὲν τὸ συνᾷδον τῷ ἐν ἐκείνῃ ὑποκειμένῳ, ἐπισυνάγεται δὲ, τῷ ἐπὶ τῆς αὐτῆς κατηγορουμένῳ τὸ σύμφωνον. Καλέσειε δ᾽ ἄν τις τοὺς τοιούτους, καὶ Διαβατικοὺς συλλογισμοὺς, ὡς διὰ πλειόνων βαίνοντας, τῶν περὶ ἕκαστα συνισαμένων, καὶ συλλογισμοὺς Καθόλου διὰ τὴν πρὸς πολλοὺς εἰδικωτέρους ἔκτασιν· καὶ Ἀρχοειδεῖς, καὶ Θεμελιώδεις, ἅτε δὴ τὰς θεμελιώδεις ἀρχὰς τῆς κατὰ διάνοιαν τελουμένης τῶν συμπερασμάτων ἐπιφορᾶς, οἷον ὑπ᾽ ὄψιν καθυποβάλλοντας.

§. φπέ. Οἷόν τε δὲ τοιούτους λαμβάνειν, ἀπὸ πασῶν μονονουχ᾽ τῶν λογικῶν ἀρχῶν, ὧν ταῖς μὲν ἐκ τῶν κοινῶν ἐννοιῶν ἐπὶ κατασκευῇ τῶν ἐν αὐτῇ θεωρουμένων ἡ ἕξις αὕτη προχεῖται, οἷον ὅτι ἔνθα ἂν ᾖ τὸ ὅλον, καὶ τὸ μέρος· καὶ ὅτι τὰ τρίτῳ ταυτὰ, καὶ ἀλλήλοις· κτ. Τὰς δὲ καὶ ἀπὸ τῶν ἰδίων καρποῦται, δι᾽ ὧν τὰ ταῖς νοεραῖς ἐνεργείαις παρεπόμενα διασκέπτεται· οἷον ὅτι αἱ ἡγούμεναι τῶν ἐννοιῶν συνεισάγουσι τὰς ἑπομένας· ὅτι συναληθεύειν οὐ πεφύκασι τῶν ἀποφάνσεων αἱ ἐναντίαι. Ὅτι ἡ Α. Πρότασις ἀντιστρέφειν ἐθέλει εἰς τὴν Ι. κξ. Ἀλλ᾽ ἡμῖν τινὰς ἐκ τῶν πολλῶν εἰς δεῖγμα ἐπὶ τοῦ παρόντος ληπτέον.

§. φπϛ΄. Α΄. Οὖν ἐκ τοῦ ταυτοῦ παραθέσει δυοῖν τινῶν πρός τι τρίτον (§. φξδ΄.), Στοιχειώδης συνίσταται συλλογισμὸς καταφάσκων ὁ ἑξῆς.

„Τὰ τρίτῳ ταυτὰ καὶ ἀλλήλοις.
Ταυτὰ δὲ τῷ καταφερεῖ, ὅ, τε ἀὴρ, καὶ τὸ βάρος ἔχειν.
Ταυτίζετ᾽ ἄρα καὶ τῷ ἀέρι τὸ βάρος ἔχειν.

Ἐκ τοῦ ταυτοῦ δὲ καὶ θατέρου, συνίσταται ἀποφάσκων.
„ὧν τὸ μὲν ταυτὸν πρός τι τρίτον, τὸ δ᾽ ἕτερον, ἕτερα.
Ἀλλ᾽



Ἀλλ. πρὸς τὸ αὐτοφαὲς, ταυτὸν μὲν ἥλιος, ἕτερον δὲ πλανήτης.
Ἑτερόν τι ἄρα πλανήτου ἥλιος.

§. φπζ΄. Β΄. Ἐκ τοῦ κατὰ παντὸς (§. φξδ΄.) οὕτως.

„Τὸ κατὰ τοῦ ἀνωτέρω λεγόμενον, καὶ κατὰ τοῦ κατωτέρω.
Τὸ δὲ θνητὸν κατὰ τοῦ ζώου.
Καὶ κατὰ τοῦ οὐρανοῦ ἄρα τὸ αὐτὸ, ὁμολογητέον τῷ Πλάτωνι.

Ἐκ τοῦ κατὰ μηδενὸς δὲ ἐν ἀποφάσει.
„Τὸ μὴ τῷ ἀνωτέρω προσῆκον, οὐδὲ τῷ κατωτέρω.
Ἀλλ. τῷ ἐνύλῳ σώματι οὐ προσήκει τὸ ἁπλῶς κοῦφον.
Οὐδὲ τῷ πυρὶ ἄρα.

§. φπή. Γ΄. Ἐκ τοῦ καθ᾽ ἑκάστου (§. φξή. ὑποσημ.)

„Τὸ ἐνὶ ἑκάστῳ τῶν κατωτέρω προσῆκον, τοῦτο καὶ κατὰ „παντὸς τοῦ ἀνωτέρω.
Ἀλλ. αἱ τοῦ Ὀρθογωνίου τριγώνου τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσί· καὶ αἱ τοῦ ἀμβλυγωνίου δὲ, καὶ αἱ τοῦ ὀξυγωνίου.
Ἄρα παντὸς τριγώνου κτ.

Καὶ ἐκ τοῦ ἀφ᾽ ἑκάστου δὲ ἀποφατικῶς.
„Τὸ ἑνὸς ἑκάστου τῶν κατωτέρω ἀποφασκόμενον τοῦτο καὶ τοῦ „ἀνωτέρω παντός.
Ἀλλ. τὸ ἀπολλαπλασίαστον εἶναι καὶ τοῦ περιττοῦ ἀριθμοῦ ἀποφάσκεται, καὶ τοῦ ἀρτίου.
Ἄρα ἀριθμοῦ παντός. κτ.

§. φπθ΄. Δ΄. Καὶ ἐκ τοῦ ὁμοίου (§. φοέ.).

„Τὸ θατέρῳ τῶν ὁμοίων παρακολουθοῦν, καὶ θατέρῳ εἰκός.
Ἀλλ. τῇ χθὲς γενομένῃ τῆς νοτίδος συμπιλήσει ὑετὸς κατεῤῥάγη.
Ἄρ᾽ οὖν καὶ τῇ σήμερον ὕσει.

Καὶ ἐκ τοῦ ἀνομοίου.
„Τοῖς ἀνομοίοις παρασυμβαίνειν ἔχει φύσιν τ᾽ ἀνόμοια.
Ἀλλ᾽ ὁ μὲν πρὸς τὸ συμφέρον τὴν φιλίαν μετρεῖ, ὁ δὲ πρὸς τὸ ἡδύ.
Ἄρ᾽ ὁ μὲν τῷ δυνατῷ οἷός ἐστι φιλικῶς προσεῖναι, ὁ δὲ τῷ καλῷ καὶ χαρίεντι.